UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

Universitätsbibliothek Wuppertal

# Theophrasti characteres

## Theophrastus

## Oxonii, 1909

XIII

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

*κωμάζειν πυρέττουσαν. καὶ δίκην ὠφληκότα ἐγγύης προσ-* 4
*ελθὼν κελεῦσαι αὐτὸν ἀναδέξασθαι. καὶ μαρτυρήσων* 5
*παρεῖναι τοῦ πράγματος ἤδη κεκριμένου. καὶ κεκλημένος* 6
*εἰς γάμους τοῦ γυναικείου γένους κατηγορεῖν. καὶ ἐκ μακρᾶς* 7
*ὁδοῦ ἥκοντα ἄρτι παρακαλεῖν εἰς περίπατον. δεινὸς* 8
*δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι.* 9
*καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς* 10
*διδάσκων. καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί* 11
*τις γενέσθαι, αἰσχύνεται δὲ ἀπείπασθαι. καὶ θύοντας καὶ* 12
*ἀναλίσκοντας ἥκειν τόκον ἀπαιτήσων. καὶ μαστιγουμένου*
*οἰκέτου παρεστὼς διηγεῖσθαι, ὅτι καὶ αὐτοῦ ποτε παῖς οὕτως* 13
*πληγὰς λαβὼν ἀπήγξατο. καὶ παρὼν διαίτῃ συγκρούειν,* 14
*ἀμφοτέρων βουλομένων διαλύεσθαι. καὶ ὀρχησόμενος* 15
*ἅψασθαι ἑτέρου μηδέπω μεθύοντος.*

## ΠΕΡΙΕΡΓΙΑΣ ΙΓ' XIII

*Ἀμέλει ⟨ἡ⟩ περιεργία δόξει εἶναι προσποίησίς τις λόγων* 1
*καὶ πράξεων μετὰ εὐνοίας, ὁ δὲ περίεργος τοιοῦτός τις,*
*⟨οἷος⟩ ἐπαγγέλλεσθαι [ἀναστάς], ἃ μὴ δυνήσεται. καὶ* 2, 3
*ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι ἀνταναστὰς*

---

*κοινοῦσθαι καὶ παρεῖναι μαρτυρήσοντα τῷ (?) ἤδη κεκριμένῳ (?) ἐν γάμοις τε τοῦ γυναικείου (?) μέρους κατηγορεῖν. καὶ μαστιγουμένου οἰκέτου. διηγεῖσθαι αὐτὸν ὅπως ὁ ἐκείνου μαστιζόμενος τέθνηκεν οἰκέτης.*

M : *Περὶ περιεργίας ιγ'. Ἡ περιεργία προσπίησίς ἐστι λόγων καὶ πράξεων μετ' εὐνοίας· οἷον τὸ ἐπαγγέλλεσθαί τινα τὰ ὑπὲρ δύναμιν ἢ ἀναγκάζειν*

---

5 *ὠφληκότι* Pauw 6 *αὐτὸν* A B 9 *ἥκοντα* clare B : *ἥκον*ͭ A 11 post *μεμαθηκότας* falso praecepta ex v. 13 sq. *καὶ ἀναλίσκοντας* punctis ipse del. A 12 *προθύμως* Blaydes 13 *καὶ* (ante *θύοντας*) A B : *ὡς* Casaubon 14 *ἥκειν* Auber : *ἥκων* sic A B 15 *αὐτοῦ* A B *οὕτως* sic A B 17 *ὀρχησόμενος* Casaubon : *ὀρχησάμενος* A B

XIII. 2 ⟨*ἡ*⟩ suppl. Buecheler *δόξειεν* ⟨*ἂν*⟩ recc. 3 *μετὰ* sic A B 4 ⟨*οἷος*⟩ suppl. recc. *ἀναστὰς* seclusi ; est varia lectio corrupti *ἔν τινι στὰς* (v. 5) 5 *τοῦ*] an *του*? *ἀνταναστὰς* scripsi (cf. *ἀναστὰς* v. 4) : *ἔν τινι στὰς* A B : *ἐνστὰς* vel *ἀντιστὰς* Reiske

4 ἐλεγχθῆναι. καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι,
5 ἢ ὅσα δύνανται οἱ παρόντες ἐκπιεῖν. καὶ διείργειν τοὺς
6 μαχομένους, καὶ οὓς οὐ γιγνώσκει. καὶ ἀτραποῦ ἡγήσασθαι,
7 εἶτα μὴ δύνασθαι εὑρεῖν, οὗ πορεύεται. καὶ τὸν στρατηγὸν
προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι, καὶ τί
8 μετὰ τὴν αὔριον παραγγελεῖ. καὶ προσελθὼν τῷ πατρὶ
9 εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ. καὶ
ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσει οἶνον τῷ μαλακιζομένῳ, φήσας βούλεσθαι διάπειραν λαμβάνειν εὐτρεπίσαι
10 τὸν κακῶς ἔχοντα. καὶ γυναικὸς δὲ τελευτησάσης ἐπιγράψαι
ἐπὶ τὸ μνῆμα τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατρὸς καὶ τῆς
μητρὸς καὶ αὐτῆς ⟨τῆς⟩ γυναικὸς τοὔνομα καὶ ποδαπή ἐστι,
11 καὶ προσεπιγράψαι, ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν· καὶ
ὀμνύναι μέλλων εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι 'καὶ πρότερον πολλάκις ὀμώμοκα'.

## XIV ΑΝΑΙΣΘΗΣΙΑΣ ΙΔ΄

1 Ἔστι δὲ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς ψυχῆς
2 ἐν λόγοις καὶ πράξεσιν, ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷος
λογισάμενος ταῖς ψήφοις καὶ κεφάλαιον ποιήσας ἐρωτᾶν

---

τινὰ ἐν τοῖς ὑπὲρ δύναμιν καὶ ἀτραποῦ ἡγεῖσθαι τὴν ὁδὸν καταλιπόντα. εἶτα μὴ δύνασθαι εὑρεῖν οὗ πορεύηται. ἢ στρατηγὸν ἐρωτᾶν πότε παρατετάξεται. καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ· καὶ ἀπαγορεύοντος ἰατροῦ μὴ δοῦναι οἶνον τῷ μαλακιζομένῳ. ἐκεῖνον φάναι βούλεσθαι διάπειραν λαβεῖν.

M: Περὶ ἀναισθησίας ιδ΄. Ἡ ἀναισθησία βραδύτης ἐστὶ ψυχῆς ἐν λόγῳ καὶ πράξει, οἷον εἴ τις συμψηφισάμενος ἐρωτώῃ τὸν παρακαθήμενον. ὅσον τὸ

---

7 διείργειν A B : διεγείρειν recc. 8 γινώσκει A B ἡγήσασθαι τὴν ὁδὸν καταλιπὼν ex M Lipsienses 9 οὗ πορεύηται M : οἷ (vel ᾗ) πορεύεται Casaubon 11 παραγγελεῖ recc. : παραγγέλλει A B 13 μαλακιζομένῳ A : καλλωπιζομένῳ B 14 φῆσαι Schwarz εὐτρεπίσαι A B (defendebat Wendland *Philolog.* 57, 117) : εὖ ποτίσαι bene Foss 17 αὐτῆς ⟨τῆς⟩ recc. : αὖ τῆς A B ποταπή A B 19 περιεστηκότας clare B : παρεστηκότας A

XIV. 2 δὲ ἡ recc. : δὲ καὶ ἡ A : καὶ ἡ B 3 λόγῳ A 4 ante ταῖς habet τις A